At verò quæ erratica dicuntur: nec eadem ipsa celeritate cum prioribus moueri suapte natura comparata sunt, nec inter se inuicem, sed in aliis atque aliis orbibus, ita vt orbium ipsorum partim propius terram accedant, partim sublimè ferantur. Et statariorum quidem numerus iniri prorsus nequit ab hominibus: tametsi omnia eadem in superficie moueantur, quę vnica est totius cæli. At verò errabundorum numerus septenario collectus, in totidem orbibus situs est deinceps substitutis: ita vt subinde inferior superiore minor sit, septémque orbes sese complectentes inuicem atque coercentes, à globo denique siderum inerrantium comprehendantur. Huic porrò globo contiguam habet semper posituram, Phænontis simul & Saturni circus dictus. Cui proximus est Phaethontis: qui & Iouis appellatur. Post hunc sequitur Pyrois: Herculis idem Martísque appellatus. Ab hoc rursus est Stilbon: qui Sacer Mercurio esse creditur: à nonnullis etiam Apollini. Secundum quem Luciferi orbis est: quem Veneris nonnulli orbem, quidem Iunonis vocant. Ab eo est orbis Solis: & denique Lunæ, nobis citimus, ad terram vsque fines suos proferens. Æther verò cùm diuina contineat corpora, ratas etiam vices motuum complectitur. At verò ætheręæ diuinæque naturæ, quam certa lege constare demonstrauimus, constitutísque vicibus, mutabilitatis etiam immunem, atque in aliam aliámque speciem conuersionis: confinis est natura patibilis prorsus & vertibilis, atque (vt in vniuersum dicam) solubilis, & obnoxia. Cuius etiam ipsius principia obtinet substantia tenuitate particularum prædita, flammulísque ignita: quas ætherea natura magnitudine sua excitat, & motus celeritate. Iam verò in natura ipsa ignita, eadémque incondita appellata atque incomposita, tum fulgores emicant, & iacula traiiciuntur flagrantia, tum trabeculæ, foueæ, & crinitæ fixæ visuntur: & sæpe restinguuntur. Hanc naturam excipit aër illi substratus: suopte ille quidem ingenio caligine & gelu permixtus: cæterùm illustratus agitatione atque succensus vnde calorem concipit, & claritatem. In hoc autem ipso vim patibilem sortito, omnifariámque in aliam, aliámque naturam commeare natura comparato, nubes concrescunt, imbres cum strepitu decidunt, niues, pruinæ, & grandines: flatus etiam ventorum tempestatúmque cientur: simul tonitrua & fulgetra existunt: fulmina inde casitant: sexcentæ denique ibidem conflictationes aëriæ opacitatis fiunt.

A τὰ δὲ πλανητὰ ὄντα, οὔτε τοῖς προτέροις ὁμοταχῶς κινεῖσθαι πέφυκεν, οὔτε ἀλλήλοις, ἀλλ' ἐν ἑτέροις καὶ ἑτέροις κύκλοις· ὥστε αὐτῶν, τὸ μὲν, προσγειότερον εἶναι· τὸ δὲ, ἀνώτερον. τὸ μὲν οὖν τῶν ἀπλανῶν πλῆθος, ἐστὶν ἀνεξεύρητον ἀνθρώποις, καίπερ ἐπὶ μιᾶς κινουμένων ἐπιφανείας τῆς τοῦ σύμπαντος οὐρανοῦ. τὸ δὲ τῶν πλανήτων, εἰς ἑπτὰ μέρη κεφαλαιούμενον, ἐν τοσούτοις ἐστὶ κύκλοις ἐφεξῆς κειμένοις· ὥστε
B ἀεὶ τὸν ἀνώτερον, μείζω τοῦ ὑποκάτω εἶναι, τούς τε ἑπτὰ ἐν ἀλλήλοις περιέχεσθαι, πάντας γε μὴν ὑπὸ τῆς τῶν ἀπλανῶν σφαίρας περιειλῆφθαι. συνεχῆ δὲ ἔχει ἀεὶ ταύτῃ τὴν θέσιν, ὁ τοῦ Φαίνοντος ἅμα καὶ Κρόνου καλούμενος κύκλος· ἐφεξῆς δὲ, ὁ τοῦ Φαέθοντος, Διὸς λεγόμενος· εἶθ' ὁ Πυρόεις, ὁ Ἡρακλέους τε καὶ Ἄρεος προσαγορευόμενος· ἑξῆς δὲ ὁ Στίλβων, ὃν ἱερὸν Ἑρμοῦ καλοῦσιν ἔνιοι· τινὲς δὲ, Ἀπόλ-
C λωνος· μεθ' ὃν ὁ τοῦ Φωσφόρου, ὃν Ἀφροδίτης· οἱ δὲ, Ἥρας προσαγορεύουσιν. εἶτα, ὁ ἡλίου· καὶ τελευταῖος, ὁ τῆς σελήνης, μέχρι τῆς γῆς ὁρίζεται. ὁ μὲν δὴ αἰθὴρ, τά τε θεῖα ἐμπεριέχει σώματα, καὶ τὴν τῆς κινήσεως τάξιν. μετὰ δὲ τὴν αἰθέριον καὶ θείαν φύσιν, ἥν τινα τεταγμένην ἀποφαίνομεν, ἔτι δὲ ἄτρεπτόν τε καὶ ἀνετεροίωτον καὶ ἀπαθῆ, συνεχής ἐστιν ἡ δι' ὅ-
D λων παθητή τε καὶ τρεπτὴ, καὶ τὸ σύμπαν εἰπεῖν, φθαρτή τε καὶ ἐπίκηρος. ταύτης δὲ αὐτῆς, πρώτη μὲν ἐστὶν ἡ λεπτομερὴς, καὶ φλογώδης οὐσία, ὑπὸ τῆς αἰθερίου φύσεως πυρουμένη διὰ τὸ μέγεθος αὐτῆς, καὶ τὴν ὀξύτητα τῆς κινήσεως· ἐν δὲ τῇ πυρώδει καὶ ἀτάκτῳ λεγομένῃ, τά τε σέλα διάττει, καὶ φλόγες ἀκοντίζονται, καὶ δοκίδες, καὶ βόθυνοι, καὶ κομῆται λεγόμενοι, στηρί-
E ζονται, καὶ σβέννυνται πολλάκις. ἑξῆς δὲ ταύτης ὁ ἀὴρ ὑποκέχυται, ζοφώδης ὢν, καὶ παγετώδης τὴν φύσιν· ὑπὸ δὲ κινήσεως λαμπόμενος ἅμα καὶ διακαιόμενος, λαμπρός τε γίνεται καὶ ἀλεεινός. ἐν δὲ τούτῳ καὶ αὐτῷ τῆς παθητῆς ὄντι δυνάμεως, καὶ παντοδαπῶς ἀλλοιουμένῳ, νέφη τε συνίσταται, καὶ ὄμβροι καταῤῥάσσουσι, χιόνες τε καὶ πάχναι, καὶ χάλαζαι, πνοαί τε ἀνέμων καὶ τυφώνων· ἔτι τε
F βρονταὶ, καὶ ἀστραπαὶ, καὶ πτώσεις κεραυνῶν, μυρίων τε γνόφων συμπληγάδες.

CAPVT